Ακαδημία Αθηνών / Academy of Athens



**χρήζειν.** Χρειάζομαι/ἔχω ἀνάγκη, need, Δημόκριτος 198 *τὸ χρῆζον οἶδεν, ὁκόσον χρήζει, ὁ δὲ χρήζων οὐ γινώσκει* 223 *ὧν τὸ σκῆνος χρήζει ... ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρήζει.* || Ἀρχύτας 1.31 *ὅκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρήζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ.*

**χρῆμα 1.** Χρῆμα/οἰκονομικὸ ἀγαθό, money/economic good, Ἡράκλειτος 90 *πυρός τε ἀνταμοιβὴ τὰ πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός* **2.** Πράγμα, thing, Μέλισσος 7(4) *οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον* Ἀναξαγόρας 1 *ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν* 4.3-15-21 *τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονὰς ... πρὶν δὲ ἀποκριθῆναι ταῦτα πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων, τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ ... τούτων δὲ οὕτως ἐχόντων ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα* 9.4-5 *ἡ δὲ ταχυτὴς αὐτῶν οὐδενὶ ἔοικε χρήματι τὴν ταχυτῆτα τῶν νῦν ἐόντων χρημάτων ἐν ἀνθρώποις, ἀλλὰ πάντως πολλαπλασίως ταχύ ἐστι* 12.2-4-7-9 *τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι, ἀλλὰ μόνος αὐτὸς ἐπ' ἑωυτοῦ ἐστιν. εἰ μὴ γὰρ ἐφ' ἑαυτοῦ ἦν, ἀλλά τεῳ ἐμέμεικτο ἄλλῳ, μετεῖχεν ἂν ἁπάντων χρημάτων, εἰ ἐμέμεικτό τεῳ· ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνεστιν, ὥσπερ ἐν τοῖς πρόσθεν μοι λέλεκται· καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χρήματος κρατεῖν ὁμοίως ὡς καὶ μόνον ἐόντα ἐφ' ἑαυτοῦ. ἔστι γὰρ λεπτότατόν τε πάντων χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον* 17.2-3 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται* Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης.* || Ἐμπεδοκλῆς 115.1 *ἔστιν Ἀνάγκης χρῆμα* **3.** Χρήματα/περιουσία,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

possessions/property, Δημόκριτος 40 οὔτε σώμασιν οὔτε χ ρ ή-μ α σ ι ν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ πολυφροσύνῃ 50 ὁ χ ρ η μ ά τ ω ν παντελῶς ἥσσων οὐκ ἄν ποτε εἴη δίκαιος 78 χ ρ ή μ α τ α πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον 219 χ ρ η μ ά τ ω ν ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη 222 ἡ τέκνοις ἄγαν χ ρ η-μ ά τ ω ν συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα 279.2-4 τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χ ρ ή μ α τ α, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χ ρ ή μ α τ α καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν 280 ἔξεστιν... παιδεῦσαί τε τοὺς παῖδας ... καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χ ρ ή μ α σ ι καὶ τοῖς σώμασιν αὐτῶν 281 ὥσπερ ἐν [μὲν] τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χ ρ ή μ α σ ι 282 χ ρ η μ ά τ ω ν χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή (?) 286 εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χ ρ ή μ α-σ ι ν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος **4.** Πρᾶγμα, thing, Δημόκριτος 182 τὰ μὲν καλὰ χ ρ ή μ α τ α τοῖς πόνοις ἡ μάθησις ἐξεργάζεται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**χρήμη.** Χρεία/ἀνάγκη, need/needfulness, Δημόκριτος 277 ὅτεῳ χ ρ ή μ η τεά ἐστι παῖδα ποιήσασθαι.

**χρῆναι 1.** Πρέπει/ταιριάζει, it must/it fits, Ξενοφάνης 1.13 χ ρ ὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας 22.1 πὰρ πυρὶ χ ρ ὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ Δημόκριτος 192 ἔστι ῥᾴδιον μὲν ἐπαινεῖν ἃ μὴ χ ρ ὴ καὶ ψέγειν 265.4 ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χ ρ ὴ ἐπαινεῖσθαι. || **χρεὼν ἐστί.** Διογένης 1.2 δοκεῖ μοι χ ρ ε ὼ ν ε ἶ ν α ι **2.** Πρέπει/ἐπιβάλλεται, it must/it is required, Ἡράκλειτος 35 χ ρ ὴ γὰρ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι 80 εἰδέναι δὲ χ ρ ὴ τὸν πόλεμον ἐόντα ξυνὸν 114 ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χ ρ ὴ τῷ ξυνῷ πάντων Δημόκριτος 3 τὸν εὐθυμεῖσθαι μέλλοντα χ ρ ὴ μὴ πολλὰ πρήσσειν 6 γιγνώσκειν τε χ ρ ὴ ... ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται 65 πολυνοΐην, οὐ πολυμαθίην ἀσκέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ